# E08.10 Aichylos‘ Perser – 2.Epeis. - 3.Stas. 598-680

**Ἄτοσσα** *598*
φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
κακῶν ἐπέλθῃ πάντα δειμαίνειν φιλεῖ·
ὅταν δ᾽ ὁ δαίμων εὐροῇ, πεποιθέναι
τὸν αὐτὸν αἰεὶ δαίμον᾽ οὐριεῖν τύχην.
ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα
ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν,
βοᾷ δ᾽ ἐν ὠσὶ κέλαδος οὐ παιώνιος·
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
τοιγὰρ κέλευθον τήνδ᾽ ἄνευ τ᾽ ὀχημάτων
χλιδῆς τε τῆς πάροιθεν ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
φέρουσ᾽, ἅπερ νεκροῖσι μειλικτήρια,
βοός τ᾽ ἀφ᾽ ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ᾽ ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ᾽ αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα,
ἀλλ᾽, ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ᾽ ἐγὼ
τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.
**Χορός** *623*
βασίλεια γύναι, πρέσβος Πέρσαις,
σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς,
ἡμεῖς θ᾽ ὕμνοις αἰτησόμεθα
φθιμένων πομποὺς
εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλά, χθόνιοι δαίμονες ἁγνοί,
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ᾽ ἐνέρων,
πέμψατ᾽ ἔνερθεν ψυχὴν ἐς φῶς·
εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.

**Χορός** *[633]*

| | | |
|---|---|---|
| ἦ ῥ᾽ ἀίει μου μακαρί- | *[640]* ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλ- | cho |
| τας ἰσοδαίμων βασιλεὺς | λοι χθονίων ἁγεμόνες | cho |
| βάρβαρ᾽ ἀσαφηνῆ | δαίμονα μεγαυχῆ | sp ba |
| ἱέντος τὰ παναίολ᾽ αἰ- | ἰόντ᾽ αἰνέσατ᾽ ἐκ δόμων, | glyc ○○ – ⏑⏑ – ⏑ – |
| ανῆ δύσθροα βάγματ᾽, ἦ | Περσᾶν Σουσιγενῆ θεόν· | glyc |
| παντάλαν᾽ ἄχη διαβοάσω; | πέμπετε δ᾽ ἄνω οἷον οὔπω | ia tr |
| νέρθεν ἆρα κλύει μου; | Περσὶς αἶ᾽ ἐκάλυψεν. | pher ○○ – ⏑⏑ – – |
| *[647]* ἦ φίλος ἀνήρ, φίλος ὄ- | *[652]* οὐδὲ γὰρ ἄνδρας ποτ᾽ ἀπώλ- | cho |
| χθος· φίλα γὰρ κέκευθεν ἤθη. | λυ πολεμοφθόροισιν ἄταις, | da ithy – ⏑⏑ –⏑ – ⏑ – – |
| Ἀιδωνεὺς δ᾽ ἀναπομ- | θεομήστωρ δ᾽ ἐκικλή- | ion‸ |
| πὸς ἀνείης, Ἀιδωνεύς, | σκετο Πέρσαις, θεομήστωρ δ᾽ | ion |
| οἷον ἀνάκτορα Δαριᾶνα. ἠέ. | ἔσκεν, ἐπεὶ στρατὸν εὖ ποδούχει. ἠέ. | da tr Excl |
| *[657]* βαλήν, ἀρχαῖος | *[664]* ὅπως αἰανῆ | do × – – ⏒ – |
| βαλήν, ἴθι, ἱκοῦ· | κλύῃς νέα τ᾽ ἄχη, | do × – ⏖ ⏑ – |
| ἔλθ᾽ ἐπ᾽ ἄκρον κόρυμβον ὄχθου, | δέσποτα δεσπότου φάνηθι. | da tr |
| κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων, | Στυγία γάρ τις ἐπ᾽ ἀχλὺς πεπόταται· | ion |
| βασιλείου τιά- | νεολαία γὰρ ἤ- | do ⏑⏑ – – ⏑ – |
| ρας φάλαρον πιφαύσκων. | δη κατὰ πᾶσ᾽ ὄλωλεν. | cho ba |
| βάσκε πάτερ ἄκακε Δαριάν, οἶ. | βάσκε πάτερ ἄκακε Δαριάν, οἶ. | ia Excl |
| | *[673]* αἰαῖ αἰαῖ· | Excl |
| | ὦ πολύκλαυτε φίλοισι θανών, | 4da |
| | τί τᾷδε, δυνάστα, δυνάστα, | ‸paroem (= ‸2 an‸) |
| | περὶ τὰ σὰ διδύμα | do |
| | δι᾽ ἄνοιαν ἁμαρτίᾳ; | gl ○○ – ⏑⏑ – ⏑ – |
| | πᾶσαι τᾷδε γᾷ | do × – – ⏑ – |
| | ἐξέφθινται τρίσκαλμοι | paroem ⏔ – ⏔ – ⏔ – – |
| | νᾶες ἄναες ἄναες. | 3 da |